ἴσαι εὐθεῖαι ἴσας περιφερείας ἀφαιροῦσιν· τὴν μὲν μεί-
ζονα τῇ μείζονι, τὴν δὲ ἐλάττονα τῇ ἐλάττονι· καὶ
ἐστιν ἑκατέρα τῶν ΑΔ, ΔΒ περιφερειῶν ἐλάττων ἡ-
μικυκλίου· ἴση ἄρα ἡ ΑΔ περιφέρεια τῇ ΔΒ περιφε-
ρείᾳ· ἡ ἄρα δοθεῖσα περιφέρεια δίχα τέτμηται κα-
τὰ τὸ Δ σημεῖον. ὅπερ ἔδει ποιῆσαι :-

λα Ἐν κύκλῳ ἡ μὲν ἐν τῷ ἡμικυκλίῳ γωνία ὀρθή ἐστιν·
ἡ δὲ ἐν τῷ μείζονι τμήματι, ἐλάττων ὀρθῆς· ἡ δὲ
ἐν τῷ ἐλάττονι τμήματι μείζων ὀρθῆς· καὶ ἔτι ἡ μὲν
τοῦ μείζονος τμήματος γωνία, μείζων ἐστὶν ὀρθῆς·
ἡ δὲ τοῦ ἐλάττονος τμήματος γωνία, ἐλάττων ἐστὶν
ὀρθῆς· ἔστω κύκλος ὁ ΑΒΓΔ· διάμετρος δὲ αὐτοῦ ἔστω
ἡ ΒΓ· κέντρον δὲ τὸ Ε· καὶ ἐπεζεύχθωσαν αἱ ΒΑ, ΑΓ, ΑΔ,
ΔΓ· λέγω ὅτι ἡ μὲν ἐν τῷ ΒΑΓ ἡμικυκλίῳ γωνία ὀρ-
θή ἐστιν· ἡ δὲ ἐν τῷ ΑΒΓ μείζονι τοῦ ἡμικυκλίου τμή-
ματι γωνία ἡ ὑπὸ ΑΒΓ, ἐλάττων ἐστὶν ὀρθῆς· ἡ δὲ
ἐν τῷ ΑΔΓ ἐλάττονι τοῦ ἡμικυκλίου τμήματι γωνί-
α, μείζων ἐστὶν ὀρθῆς· ἐπεζεύχθω ἡ ΑΕ καὶ διήχθω ἡ
ΒΑ ἐπὶ τὸ Ζ· καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΒΕ τῇ ΕΑ, ἴση ἐστὶ καὶ γωνί-
α ἡ ὑπὸ ΕΑΒ τῇ ὑπὸ ΕΒΑ· πάλιν ἐπεὶ ἴση ἐστὶν ἡ ΕΑ τῇ
ΕΓ, ἴση ἐστὶν καὶ ἡ ὑπὸ ΑΓΕ τῇ ὑπὸ ΓΑΕ· ὅλη ἄρα ἡ ὑ-
πὸ ΒΑΓ δυσὶ ταῖς ὑπὸ ΑΒΓ, ΑΓΒ ἴση ἐστίν· ἔστι δὲ καὶ ἡ
ὑπὸ ΖΑΓ ἐκτὸς τοῦ ΑΒΓ τριγώνου δυσὶ ταῖς ὑπὸ
ΑΒΓ, ΑΓΒ γωνίαις ἴση· ἴση ἄρα καὶ ἡ ὑπὸ ΒΑΓ γωνία
τῇ ὑπὸ ΖΑΓ· ὀρθὴ ἄρα ἑκατέρα· ἡ ἄρα ἐν τῷ ΒΑΓ
ἡμικυκλίῳ γωνία ἡ ὑπὸ ΒΑΓ ὀρθή ἐστιν· καὶ ἐπεὶ τοῦ

ΑΒΓ τριγώνου δύο γωνίαι αἱ ὑπὸ ΑΒΓ, ΒΑΓ δύο ὀρθῶν ἐ-
λάττονές εἰσιν· ὀρθὴ δὲ ἡ ὑπὸ ΒΑΓ γωνία· ἐλάττων
ἄρα ὀρθῆς ἐστιν ἡ ὑπὸ ΑΒΓ γωνία· καὶ ἔστιν ἐν τῷ ΑΒΓ μεί-
ζονι τοῦ ἡμικυκλίου τμήματι· καὶ ἐπεὶ ἐν κύκλῳ τετρά-
πλευρόν ἐστι τὸ ΑΒΓΔ· τῶν δὲ ἐν τοῖς κύκλοις τετρα-
πλεύρων αἱ ἀπεναντίον γωνίαι δυσὶν ὀρθαῖς ἴσαι
εἰσίν· αἱ ἄρα ὑπὸ ΑΒΓ, ΑΔΓ δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· καὶ
ἐστιν ἡ ὑπὸ ΑΒΓ ἐλάττων ὀρθῆς· λοιπὴ ἄρα ἡ ὑπὸ
ΑΔΓ μείζων ἐστὶν ὀρθῆς· καὶ ἔστιν ἐν τῷ ἐλάττονι τοῦ
ἡμικυκλίου τμήματι· λέγω δὴ ὅτι καὶ ἡ μὲν τοῦ μείζονος
τμήματος γωνία ἡ περιεχομένη ὑπό τε τῆς ΑΗΒ περι-
φερείας καὶ τῆς ΑΓ εὐθείας μείζων ἐστὶν ὀρθῆς· ἡ δὲ
τοῦ ἐλάττονος τμήματος γωνία ἡ περιεχομένη ὑ-
πό τε τῆς ΑΔΓ περιφερείας καὶ τῆς ΑΓ εὐθείας, ἐλάτ-
των ἐστὶν ὀρθῆς· καὶ ἔστιν αὐτόθεν φανερόν· ἐπεὶ γὰρ
ἡ ὑπὸ τῶν ΒΑ, ΑΓ εὐθειῶν περιεχομένη ὀρθή γωνία
ἐστίν· ἡ ἄρα ὑπὸ τῆς ΑΗΒ περιφερείας καὶ τῆς ΑΓ εὐ-
θείας περιεχομένη μείζων ἐστὶν ὀρθῆς· πάλιν ἐπεὶ
ἡ ὑπὸ τῶν ΑΓ, ΑΖ εὐθειῶν ὀρθή ἐστιν· ἡ ἄρα ὑπὸ τῆς
ΓΑ εὐθείας καὶ τῆς ΑΔΓ περιφερείας περιεχομένη ἐ-
λάττων ἐστὶν ὀρθῆς· ἐν κύκλῳ ἄρα
ἡ μὲν ἐν τῷ ἡμικυκλίῳ γωνία
ὀρθή ἐστιν· ἡ δὲ ἐν τῷ μείζονι τμή-
ματι ἐλάττων ἐστὶν ὀρθῆς· ἡ δὲ ἐν
τῷ ἐλάττονι μείζων ἐστὶν ὀρθῆς·
καὶ ἔτι ἡ μὲν τοῦ μείζονος τμήματος